eul_wid: rrg-ce

*Χρυσοποιὸς Α'* · Alchemist I

# Management of Lime

*Οἰκονομία τῆς ἀσβέστου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ΑΛΛΗ ΟΙΚΟΝΟΜΙΑ ΤΗΣ ΑΣΒΕΣΤΟΥ Ἔνιοι δὲ ξανθὸν βαλόντες ὕδωρ ἐν ταῖς ἰώσεσιν ἢ λευκὸν κατὰ φύσιν ἅπαξ ἀνασπάσαντες ἠρκέσθησαν αἰθάλαις αἰθαλῶν, τὴν πρώτην καὶ τὴν δευτέραν μετὰ τὴν ἴωσιν κρίναντες. Ἔλεγεν γὰρ ὅτι οὐ τὸ πολλάκις ἀνάγεσθαι χαρίζεται τοῖς ὑγροῖς τὸν κάτοχον καὶ τὴν εἴσκρισιν, ἀλλ' ἡ τῶν σωμάτων συμπλοκὴ, καὶ ἡ τῶν ὀργάνων ἰδιότης, καὶ ἡ διὰ τῆς κηροτακίδος διαφορὰ, καὶ ἡ ποσότης τῶν ἡμερῶν ἐν τῇ σήψει.

2.281 Συμβαίνει δὲ τὸν ἰόχαλκον ταῖς πολλαῖς αἰθάλαις μὴ μόνον μελαίνεσθαι τῇ τῶν στερεῶν σωμάτων χροιᾷ βαπτόμενον, ἀλλ' ἔσθ' ὅτε καὶ δαπανᾶσθαι τελείως. Τοῦτο δὲ οἱ τελέσαντες παραχρῆμα ἑτέραις αἰθάλαις ὁμοχρώοις τῆς κινναβάρεως συνέμιξαν καὶ ἀπέθηκαν· ἡ αἰθάλη τῆς ὑδραργύρου αἰθάλῃ μιγεῖσα παραμονιμώτερον τηρεῖ τὸ ποίημα τῆς ὑδραργύρου· καὶ πάλιν τάχα οὖν ὑπὸ ἑτέρας τῆς φύσεωσνεφέλης κατέχεται.